# ΕΥΛΟΓΗΤΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ

*Ἦχος πλ. α'.*

***Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.***

Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν Σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτὴρ τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

***Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.***

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

***Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.***

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾿ ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε· τὴν Ἀνάστασιν δὲ Ἀποστόλοις εἴπατε.

***Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.***

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά Σου, Σῶτερ, ἐνηχοῦντο, Ἀγγέλου τρανῶς πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

**Δόξα Πατρὶ... Τριαδικόν.**

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ κράζοντες· τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

**Καὶ νῦν... Θεοτοκίον.**

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεός.**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεός.**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεός, ἡ Ἐλπὶς ἡμῶν, Κύριε, Δόξα Σοι.**

*Ἡ Ἀνάστασις τοῦ Χριστοῦ ἐκ τοῦ Τάφου. (Φορητὴ εἰκών, εὐλογία τοῦ Παναγίου Τάφου, Ἱεροσόλυμα)*

